# ΑΙΣΧΥΛΟΥ ΑΓΑΜΕΜΝΩΝ.[1]

---

## ΤΑ ΤΟΥ ΔΡΑΜΑΤΟΣ ΠΡΟΣΩΠΑ.

*ΦΥΛΑΞ.*
*ΧΟΡΟΣ.*
*ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.*[2]
*ΤΑΛΘΥΒΙΟΣ ΚΗΡΥΞ.*
*ΑΓΑΜΕΜΝΩΝ.*
*ΚΑΣΑΝΔΡΑ.*[3]
*ΑΙΓΙΣΘΟΣ.*

---

## ΥΠΟΘΕΣΙΣ.

*Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῇ Κλυταιμνήστρᾳ ὑπέσχετο,*[4] *εἰ πορθήσοι*[5] *τὸ Ἴλιον, τῆς αὐτῆς ἡμέρας σημανεῖν διὰ τοῦ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα*[5b]*, ἵνα τηροίη τὸν πυρσόν. καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν, αὐτὴ δὲ τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται περὶ τοῦ πυρσοῦ ἐροῦσα, ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος*[6] *παραγίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων*

1) Personarum indice caret M. 2) Confer nomina *Ὑπερμνήστρα* et *Πολυμνήστωρ.* Alii, ut Wecklein, *Κλυταιμήστρα* scribunt. Sic *θεομήστωρ* Pers. 654. Clytaemnestra Helenae soror fuit. 3) *Κασσάνδρα* scribunt Herm. et alii, probante Dindorfio, qui conferri jubet Thes. Gr. IV. 1005. 4) *ὑπέσχετο* om. M. add. Fl. V. 5) *πορθήσει* M. *πορθήσοι* Blomf. 5b. *σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα* —] Paullo aliter Homerus Od. 4, 524. *τὸν δ' ἄρ' ἀπὸ σκοπιῆς εἶδε σκοπὸς ὅν ῥα καθεῖσεν | Αἴγισθος δολόμητις ἄγων, ὑπὸ δ' ἔσχετο μισθὸν | χρυσοῦ δοιὰ τάλαντα· φύλασσε δ' ὅγ' εἰς ἐνιαυτὸν | μή ἑ λάθοι παρεὼν μνήσαιτο δὲ θούριδος ἀλκῆς.* 6) *Ταλθύβιος*] Nulla hujus nominis mentio in ipsa fabula fit, sed apud epicos et tragicos poetas Talthybius praecipuus Agamemnonis praeco fuisse perhibetur.